p. 447b. ἀλλὰ ἆρα ἐθελήσει.

12 ἆρα γὰρ θελήσει διαλεχθῆναι ἡμῖν· οὐ γὰρ ἀνάγκης χρεία, ἀλλ' εἰ προῄρηται ἐντυγχανέτω. καλῶς δὲ τὸ διαλεχθῆναι· οὐ γὰρ ἐθέλειν αὐτὸν ἐπιδείξασθαι, ἀλλ' εἰς διάλεκτον ἐλθεῖν ἀντὶ τοῦ κατ' ἐρώτησιν καὶ ἀπόκρισιν προαγαγεῖν τοὺς λόγους. ὁ γὰρ κατὰ ἀποτάδην λόγος ὄχλον τε τῷ μήκει τίκτει καὶ εἰκὸς τὸν ῥᾴθυμον, εἰ εἴη καὶ ἠγρυπνηκώς, πρὸς ὕπνον ἕλκει.

13 p. 447c. βούλομαι γὰρ πυθέσθαι παρ' αὐτοῦ·

ἰδοὺ οὐκ εἶπεν ἐπιθυμῶ ἀλλὰ βούλομαι ἐρωτῆσαι αὐτόν, τίς ἡ δύναμις τοῦ ἀνδρὸς καὶ τί ἐστιν ὃ ἐπαγγέλλεται. ἰστέον τοίνυν, ὅτι ἡ ῥητορικὴ διττή ἐστιν· ἡ μὲν ἀληθὴς καὶ τεχνική, ἡ δὲ ψευδώνυμος καὶ ἐμπειρία, καὶ τεχνικὴ μέν ἐστιν ἡ τῷ πολιτικῷ ἑπομένη, ψευδώνυμος δὲ ἡ πρὸς ἡδονὴν ὁρῶσα. διαρθρώσωμεν τοίνυν τὸ λεγόμενον· δεῖ εἰδέναι, ὅτι πολλὰ εἴδη πολιτειῶν· ἐπεὶ γὰρ τριμερὴς ἡ ψυχὴ λόγον τε ἔχουσα καὶ θυμὸν καὶ ἐπιθυμίαν, ὅταν μὲν ὁ λόγος κρατῇ, ποιεῖ τὴν ἀριστοκρατίαν, ὅταν δὲ ὁ θυμὸς τὴν τιμοκρατίαν, ἡ δὲ ἐπιθυμία διττή ἐστιν ἡ μὲν φιλήδονος, ἡ δὲ φιλοχρήματος· ἡ μὲν οὖν φιλοχρημοσύνη ποιεῖ τὴν ὀλιγαρχίαν, ἐν γὰρ τῇ ὀλιγαρχίᾳ οἱ πλούσιοι καὶ ὀλίγοι, εἰ δὲ φιλήδονον, ἐπειδὴ τοῦτο ἢ ἔννομόν ἐστιν ἢ παράνομον, εἰ μὲν τὸ ἔννομον κρατεῖ, γίνεται δημοκρατία, νόμους γὰρ ἕκαστος τῶν δημοτῶν οὓς βούλεται τίθεται· οἷον ὅτι δεῖ τοὺς ἀριστέας τιμᾶσθαι ἢ ἄλλο τι τοιοῦτον· εἰ δὲ τὸ παράνομον γίνεται ἡ τυραννίς. ταῦτα τὰ πέντε εἴδη τῶν πολιτειῶν. μᾶλλον δὲ τὸ μὲν εἶδος τὸ πρῶ-

---

15 mg. ὅτι πέντε εἴδη τῆς πολιτείας

| | | |
|---|---|---|
| 15 mg. | μέρη ψυχῆς | πολιτεῖαι |
| | λογικόν | ἀριστοκρατία |
| | θυμικόν | τιμοκρατία |
| ἐπιθυμητικόν | φιλοχρήματον | ὀλιγαρχία |
| | φιλήδονον ἔννομον | δημοκρατία |
| | φιλήδονον παράνομον | τυραννίς |

16 mg. α' 17 mg. β' 19 mg. γ' 21 mg. δ' 23 mg. ε'

---

1 ἐθελήσει M ἐθελήσειεν Plat.